Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

XVIII. De Artemio duce.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

cumventos clamarunt: nunc palinodiam canere, & pugnam in qua per imprudentiam victi fuissent, redintegrare. Hæc vociferando in palatium contendunt, Imperatoris fraudem accusantes; seque in ignem conjici postulantes, ut per ignem polluti, alio igne purgarentur. Hæc & alia ejusmodi dicentes, scelerati illius animum efferarunt. Qui primo quidem capita eis præcidi jussit. Cùm autem extra urbem ad supplicium ducerentur, sequebatur eos populi multitudo, eorum animi fortitudinem & pro pietatis defensione fiduciam admirans. Cumque ad locum pervenissent, in quo noxii supplicio affici solebant, is qui ætate reliquos anteibat, rogavit carnificem, ut minimum natu ante omnes obtruncaret, ne forte is aliorum cædem adspiciens, timidior redderetur. Cùm vero hic quidem genua humi defixisset, carnifex autem gladium jam strinxisset, supervenit quidam indulgentiam Principis nuntians, & sublato clamore è longinquo vetans ne occiderentur. Tunc adolescens liberatum se mortis supplicio ægre ferens: martyris, inquit, nomine dignus non fuit Romanus. Sic enim ipse vocabatur. Verumenimvero cædem quidem ab illis depulit malignus Princeps, livore succensus, & martyrii gloriam strenuis athletis invidens. Eos tamen in urbibus degere non permisit, sed in ultimos Imperii Romani fines relegavit.

A εἶναι ἐβόων καὶ βασιλικοῖς παρακεκροῦσθαι τεχνάσμασι, καὶ παλινῳδίαν ᾄδειν, καὶ τὴν ἐξ ἀγνοίας συμβᾶσαν ἧτταν ἀναπαλαίειν. μετὰ τούτων θέοντες τῶν βοῶν κατέλαβον τὰ βασίλεια, τῶν δὲ τυραννικῶν σοφισμάτων καταβοῶντες, καὶ πυρὶ παραδοθῆναι παρακαλοῦντες, ἵνα πυρὶ μιανθέντες διὰ πυρὸς ἑτέρου τὴν κάθαρσιν δέξωνται. ταῦτα καὶ ὅσα τούτοις παρόμοια παρ' ἐκείνων λεγόμενα, ἐξέμηνε τὸν τοῦ ἀλιτηρίου θυμόν· καὶ πρῶτον μὲν τὰς κεφαλὰς αὐτῶν ἀποτμηθῆναι προσέταξεν. ἀπαγομένων δὲ αὐτῶν ἔξω τοῦ ἄστεος, ἠκολούθει τὸ τῆς πόλεως πλῆ-
B θος, ἀγάμενον αὐτοὺς τῆς εὐψυχίας, καὶ τὴν ὑπὲρ τῆς εὐσεβείας παρρησίαν θαυμάζοντες. ἐπειδὴ δὲ τὸ χωρίον ἐκεῖνο κατέλαβον ἔνθα τοὺς κακούργους κολάζειν εἰώθεσαν, ἐλιπάρησε τὸν δήμιον ὁ τῶν ἄλλων πρεσβύτερος, τοῦ πάντων αὐτῶν νεωτάτου πρῶτον τὴν κεφαλὴν ἐκτεμεῖν, ἵνα μὴ τῶν ἄλλων θεασάμενος τὴν σφαγὴν, τὴν δειλίαν εἰσδέξηται. ἐπειδὴ δὲ ὁ μὲν ἐπέθηκε τῷ δαπέδῳ τὰ γόνατα, ὁ δὲ τὸ ξίφος ἐγύμνωσεν, ἧκέ τις μηνύων τὴν ἄφεσιν, καὶ βοῇ κωλύων πόρρωθεν τὴν ἀναίρεσιν. τότε ὁ νεώτατος ὁ τὴν τῆς σφαγῆς δυσχεράνας ἀπαλλαγὴν, οὐκ
C ἦν ἄρα, ἔφη, Ῥωμανὸς ἄξιος μάρτυς κληθῆναι χριστοῦ. τοῦτο γὰρ ἦν αὐτῷ ὄνομα. ἀλλὰ τὴν μὲν σφαγὴν ὁ κακότεχνος ἐκεῖνος ἐκώλυε, φθόνῳ βαλλόμενος, καὶ τῆς εὐκλείας βασκαίνων τοῖς ἀθληταῖς· οὐκ εἴασε δὲ ὅμως αὐτοὺς τὰς πόλεις οἰκεῖν, ἀλλ' εἰς τὰς ἐσχατιὰς τῆς ῥωμαίων ἡγεμονίας ἐξέπεμψε.

---

## Cap. XVIII.

### *De Artemio Duce.*

ARTEMIUM quoque, qui Dux militum fuerat per Ægyptū, eo quod temporibus Constantii cùm magistratum illum gereret, plurima Deorum simulachra confregerat, non solum bonis exuit, verum etiam capite truncavit. Hæc & hujusmodi alia commissa sunt ab illo, quem Gentiles mansuetissimum & ab iracundia alienissimum prædicant. Ego vero etiam præstantissimæ mulieris laudandum facinus hoc loco attexam. Nam & mulieres Divino præditæ zelo, ejus rabiem contempserunt.

## Κεφ. ιη'.

### Περὶ ἀρτεμίου τοῦ δουκός.

Καὶ ἀρτέμιον δὲ, στρατηγὸς δὲ οὗτος τῶν ἐν αἰγύπτῳ στρατιωτῶν ἐγεγόνει· ἐπειδὴ πλεῖστα
D τῶν εἰδώλων συνέτριψε τὴν ἀρχὴν ἐκείνην ἐν τοῖς κωνσταντίου χρόνοις λαχὼν, οὐ μόνον τῶν ὄντων ἐγύμνωσεν, ἀλλὰ καὶ τῆς κεφαλῆς τὸ λοιπὸν ἐστέρησε σῶμα. ταῦτα καὶ τὰ τοιαῦτα δέδρακεν ὁ πρᾳότατος καὶ ὀργῆς ἐγκρατέστατος παρὰ τῶν δυσσεβούντων ὀνομαζόμενος, ἐγὼ δὲ καὶ γυναικῶν ἀρίστης ἀξιέπαινον διήγημα προσθήσω τῇ συγγραφῇ· κατεφρόνησαν γὰρ τούτου λύττης καὶ γυναῖκες, τῷ θείῳ ζήλῳ καθωπλισμέναι.